## Texte 15 du livre scolaire – 1ere année de Collège grec

Μεγάλου Βασιλείου, Ὁμιλίαι εἰς τὴν Ἐξαήμερον 7. 3

**Ὁ καρκῖνος τῆς σαρκὸς ἐπιθυμεῖ τοῦ ὀστρέου· ἀλλὰ δυσάλωτος ἡ ἄγρα αὐτῷ διὰ τὴν περιβολὴν τοῦ ὀστράκου γίνεται. Ἀρραγεῖ γὰρ ἑρκίῳ τὸ ἁπαλόν τῆς σαρκὸς ἡ φύσις κατησφαλίσατο. Διὸ καὶ ὀστρακόδερμον προσηγόρευται. Καὶ ἐπειδὴ δυὸ κοιλότητες ἀκριβῶς ἀλλήλαις προσηρμοσμέναι τὸ ὄστρεον περιπτύσσονται, ἀναγκαίως ἄπρακτοί εἰσιν αἱ χηλαὶ τοῦ καρκίνου. Τί οὖν ποιεῖ; Ὅταν ἴδῃ ἐν ἀπηνέμοις χωρίοις μεθ' ἡδονῆς διαθαλπόμενον, καὶ πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου τάς πτυχάς ἑαυτοῦ διαπλώσαντα, τότε δὴ λάθρα ψηφῖδα παρεμβαλών, διακωλύει τὴν σύμπτυξιν, καὶ εὑρίσκεται τὸ ἐλλεῖπον τῆς δυνάμεως διὰ τῆς ἐπινοίας περιεχόμενος. [...] Ἐγὼ δὲ σε βούλομαι τὸ ποριστικὸν καὶ εὐμήχανον τῶν καρκίνων ζηλοῦντα, τῆς βλάβης τῶν πλησίον ἀπέχεσθαι. Τοιοῦτός ἐστιν ὁ πρὸς τὸν ἀδελφὸν πορευόμενος δόλῳ, καὶ ταῖς τῶν πλησίον ἀκαιρίαις ἐπιτιθέμενος, καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῶν.**

## Traduction en français par Projet Homère

Le crabe est très friand de la chair de l'huître, mais il lui est bien difficile de se saisir de cette proie car l'huître est hyperprotégée par sa coquille. La nature en effet a mis sa chair tendre à l'abri, dans une enceinte inviolable. C'est pourquoi on l'appelle aussi «peau-écaille ». Et puisque les deux valves, appliquées parfaitement l'une sur l'autre, enveloppent complètement la partie comestible, il va de soi que pour le crabe ses pinces ne lui servent à rien. Comment donc s'y prend-il ? Lorsqu'il voit l'huître à l'abri du vent en train de savourer la chaleur et de déployer ses écailles sous les rayons du soleil, alors, mine de rien, il y jette un petit caillou qui l'empêche de se refermer : ainsi trouve-t-il par son adresse astucieuse le moyen de pallier son manque de force. [...] Pour ma part, je veux que, tout en admirant l'ingéniosité des crabes à se procurer leur nourriture, tu t'abstiennes de nuire à ton prochain. Semblable au crabe est celui qui s'approche de son frère en utilisant la ruse, qui l'attaque en profitant des imprévus et qui fait ses délices du malheur d'autrui.